# Ἰακώβου

Ἰάκωβος, θεοῦ καὶ κυρίου Ἰησοῦ χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς 1
ταῖς ἐν τῇ διασπορᾷ,[1] χαίρειν.

Πᾶσαν χαρὰν ἡγήσασθε,[2] ἀδελφοί μου, ὅταν πειρασμοῖς[3] περιπέσητε[4] 2
ποικίλοις,[5] γινώσκοντες ὅτι τὸ δοκίμιον[6] ὑμῶν τῆς πίστεως 3
κατεργάζεται[7] ὑπομονήν: ἡ δὲ ὑπομονὴ ἔργον τέλειον[8] ἐχέτω, ἵνα ἦτε 4
τέλειοι[8] καὶ ὁλόκληροι,[9] ἐν μηδενὶ λειπόμενοι.[10]

Εἰ δέ τις ὑμῶν λείπεται[10] σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν 5
ἁπλῶς,[11] καὶ οὐκ ὀνειδίζοντος,[12] καὶ δοθήσεται αὐτῷ. Αἰτείτω δὲ ἐν 6
πίστει, μηδὲν διακρινόμενος:[13] ὁ γὰρ διακρινόμενος[13] ἔοικεν[14]
κλύδωνι θαλάσσης ἀνεμιζομένῳ[15] καὶ ῥιπιζομένῳ.[16] Μὴ γὰρ οἰέσθω[17] 7
ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ κυρίου. Ἀνὴρ δίψυχος,[18] 8
ἀκατάστατος[19] ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς[20] ἐν τῷ ὕψει[21] αὐτοῦ: ὁ δὲ πλούσιος[22] 9
ἐν τῇ ταπεινώσει[23] αὐτοῦ: ὅτι ὡς ἄνθος[24] χόρτου[25] παρελεύσεται.[26] 11
Ἀνέτειλεν[27] γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι,[28] καὶ ἐξήρανεν[29] τὸν χόρτον,

[1] διασπορά, ᾶς, ἡ, diaspora, dispersion. [2] ἡγέομαι, lead, be chief. [3] πειρασμός, οῦ, ὁ, temptation, trial. [4] περιπίπτω, fall in with, strike. [5] ποικίλος, varied, manifold. [6] δοκίμιον, ου, τό, testing, test. [7] κατεργάζομαι, work out, produce. [8] τέλειος, complete, perfect. [9] ὁλόκληρος, whole, complete. [10] λείπω, leave, leave behind. [11] ἁπλῶς, simply, sincerely. [12] ὀνειδίζω, reproach, revile. [13] διακρίνω, discriminate, judge. [14] ἔοικα, be like, am like. [15] ἀνεμίζω, am blown with the wind. [16] ῥιπίζω, toss to and fro. [17] οἶμαι, think, suppose. [18] δίψυχος, double-minded, hesitating. [19] ἀκατάστατος, unstable, restless. [20] ταπεινός, humble, downcast. [21] ὕψος, ους, τό, height, heaven. [22] πλούσιος, rich. [23] ταπείνωσις, εως, ἡ, humiliation, humble state. [24] ἄνθος, ους, τό, flower, bloom. [25] χόρτος, ου, ὁ, grass, hay. [26] παρέρχομαι, pass by, go by. [27] ἀνατέλλω, cause to rise, make to rise. [28] καύσων, ωνος, ὁ, burning heat, scorching heat. [29] ξηραίνω, dry up, parch.

καὶ τὸ ἄνθος[1] αὐτοῦ ἐξέπεσεν,[2] καὶ ἡ εὐπρέπεια[3] τοῦ προσώπου
αὐτοῦ ἀπώλετο: οὕτως καὶ ὁ πλούσιος[4] ἐν ταῖς πορείαις[5] αὐτοῦ
μαρανθήσεται.[6]

Μακάριος ἀνὴρ ὃς ὑπομένει[7] πειρασμόν:[8] ὅτι δόκιμος[9] γενόμενος 12
λήψεται τὸν στέφανον[10] τῆς ζωῆς, ὃν ἐπηγγείλατο[11] ὁ κύριος τοῖς
ἀγαπῶσιν αὐτόν. Μηδεὶς πειραζόμενος λεγέτω ὅτι Ἀπὸ θεοῦ 13
πειράζομαι: ὁ γὰρ θεὸς ἀπείραστός[12] ἐστιν κακῶν, πειράζει δὲ αὐτὸς
οὐδένα: ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος 14
καὶ δελεαζόμενος.[14] Εἶτα[15] ἡ ἐπιθυμία συλλαβοῦσα[16] τίκτει[17] 15
ἁμαρτίαν: ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα[18] ἀποκύει[19] θάνατον. Μὴ 16
πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. Πᾶσα δόσις[20] ἀγαθὴ καὶ πᾶν 17
δώρημα[21] τέλειον[22] ἄνωθέν[23] ἐστιν, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν
φώτων, παρ' ᾧ οὐκ ἔνι[24] παραλλαγή,[25] ἢ τροπῆς[26] ἀποσκίασμα.[27] 18
Βουληθεὶς ἀπεκύησεν[19] ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς
ἀπαρχήν[28] τινα τῶν αὐτοῦ κτισμάτων.[29]

Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς[30] εἰς τὸ 19
ἀκοῦσαι, βραδὺς[31] εἰς τὸ λαλῆσαι, βραδὺς[31] εἰς ὀργήν: ὀργὴ γὰρ 20
ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατεργάζεται.[32] Διὸ ἀποθέμενοι[33] πᾶσαν 21

[1] ἄνθος, ους, τό, flower, bloom. [2] ἐκπίπτω, fall away, fall out. [3] εὐπρέπεια, ας, ἡ, beauty, loveliness. [4] πλούσιος, rich. [5] πορεία, ας, ἡ, journey, way. [6] μαραίνω, die, wither. [7] ὑπομένω, tarry, endure. [8] πειρασμός, οῦ, ὁ, temptation, trial. [9] δόκιμος, tested, approved. [10] στέφανος, ου, ὁ, crown, garland. [11] ἐπαγγέλλομαι, promise, profess. [12] ἀπείραστος, unable to be tempted, untried. [13] ἐξέλκω, drag away, entice. [14] δελεάζω, lure, entice. [15] εἶτα, then, thereafter. [16] συλλαμβάνω, take, conceive. [17] τίκτω, give birth to, bear. [18] ἀποτελέω, bring to completion, finish. [19] ἀποκυέω, give birth to, bring forth. [20] δόσις, εως, ἡ, gift, giving. [21] δώρημα, τος, τό, gift, present. [22] τέλειος, complete, perfect. [23] ἄνωθεν, from above, again. [24] ἔνι, there is in, is present. [25] παραλλαγή, ῆς, ἡ, change, variation. [26] τροπή, ῆς, ἡ, turning, change. [27] ἀποσκίασμα, τος, τό, shadow, faint image or copy. [28] ἀπαρχή, ῆς, ἡ, first fruit. [29] κτίσμα, ος, τό, creature, created thing. [30] ταχύς, quickly, quick. [31] βραδύς, slow. [32] κατεργάζομαι, work out, produce. [33] ἀποτίθημι, put off, lay aside.

ῥυπαρίαν[1] καὶ περισσείαν[2] κακίας,[3] ἐν πρᾳΰτητι[4] δέξασθε τὸν
ἔμφυτον[5] λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. Γίνεσθε δὲ 22
ποιηταὶ[6] λόγου, καὶ μὴ μόνον ἀκροαταί,[7] παραλογιζόμενοι[8] ἑαυτούς. 23
Ὅτι εἴ τις ἀκροατὴς[7] λόγου ἐστὶν καὶ οὐ ποιητής,[6] οὗτος ἔοικεν[9]
ἀνδρὶ κατανοοῦντι[10] τὸ πρόσωπον τῆς γενέσεως[11] αὐτοῦ ἐν ἐσόπτρῳ:[12]
κατενόησεν[10] γὰρ ἑαυτὸν καὶ ἀπελήλυθεν, καὶ εὐθέως ἐπελάθετο[13] 24
ὁποῖος[14] ἦν. Ὁ δὲ παρακύψας[15] εἰς νόμον τέλειον[16] τὸν τῆς ἐλευθερίας 25
καὶ παραμείνας,[18] οὗτος οὐκ ἀκροατὴς[7] ἐπιλησμονῆς[19] γενόμενος
ἀλλὰ ποιητὴς[6] ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει[20] αὐτοῦ ἔσται. Εἴ 26
τις δοκεῖ θρῆσκος[21] εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν[22] γλῶσσαν αὐτοῦ,
ἀλλὰ ἀπατῶν[23] καρδίαν αὐτοῦ, τούτου μάταιος[24] ἡ θρησκεία.[25] 27
Θρησκεία[25] καθαρὰ[26] καὶ ἀμίαντος[27] παρὰ θεῷ καὶ πατρὶ αὕτη ἐστίν,
ἐπισκέπτεσθαι[28] ὀρφανοὺς[29] καὶ χήρας[30] ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον
ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις[32] ἔχετε τὴν πίστιν τοῦ κυρίου **2**
ἡμῶν Ἰησοῦ χριστοῦ τῆς δόξης. Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν 2
ὑμῶν ἀνὴρ χρυσοδακτύλιος[33] ἐν ἐσθῆτι[34] λαμπρᾷ,[35] εἰσέλθῃ δὲ καὶ
πτωχὸς ἐν ῥυπαρᾷ[36] ἐσθῆτι,[34] καὶ ἐπιβλέψητε[37] ἐπὶ τὸν φοροῦντα[38] 3

[1] ῥυπαρία, ας, ἡ, filthiness, vulgarity. [2] περισσεία, ας, ἡ, superfluity, surplus. [3] κακία, ας, ἡ, malice, evil. [4] πρᾳΰτης, mildness, gentleness. [5] ἔμφυτος, implanted, inborn. [6] ποιητής, οῦ, ὁ, maker, doer. [7] ἀκροατής, οῦ, ὁ, hearer, hearer of. [8] παραλογίζομαι, deceive, mislead. [9] ἔοικα, be like, am like. [10] κατανοέω, observe, understand. [11] γένεσις, εως, ἡ, origin, birth. [12] ἔσοπτρον, ου, τό, mirror. [13] ἐπιλανθάνομαι, forget, neglect. [14] ὁποῖος, what sort of, what kind of. [15] παρακύπτω, stoop to look, look. [16] τέλειος, complete, perfect. [17] ἐλευθερία, ας, ἡ, liberty, freedom. [18] παραμένω, remain beside, continue. [19] ἐπιλησμονή, ῆς, ἡ, forgetfulness. [20] ποίησις, εως, ἡ, making, doing. [21] θρῆσκος, religious. [22] χαλιναγωγέω, bridle, hold in check. [23] ἀπατάω, deceive, lead into error. [24] μάταιος, vain, useless. [25] θρησκεία, ας, ἡ, religion, worship. [26] καθαρός, clean, pure. [27] ἀμίαντος, undefiled, untainted. [28] ἐπισκέπτομαι, visit, have a care for. [29] ὀρφανός, orphan, bereaved. [30] χήρα, ας, ἡ, widow. [31] ἄσπιλος, spotless, unstained. [32] προσωποληψία, ας, ἡ, partiality, favoritism. [33] χρυσοδακτύλιος, with a gold ring. [34] ἐσθής, ῆτος, ἡ, clothing. [35] λαμπρός, bright, shining. [36] ῥυπαρός, filthy, soiled. [37] ἐπιβλέπω, look on (with favor), have regard for. [38] φορέω, wear, bear.

τὴν ἐσθῆτα[1] τὴν λαμπράν,[2] καὶ εἴπητε αὐτῷ, Σὺ κάθου ὧδε καλῶς,
καὶ τῷ πτωχῷ εἴπητε, Σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν[3]
μου: καὶ οὐ διεκρίθητε[4] ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ[5] διαλογισμῶν 4
πονηρῶν; Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. Οὐχ ὁ θεὸς ἐξελέξατο[7] 5
τοὺς πτωχοὺς τοῦ κόσμου πλουσίους[8] ἐν πίστει, καὶ κληρονόμους[9]
τῆς βασιλείας ἧς ἐπηγγείλατο[10] τοῖς ἀγαπῶσιν αὐτόν; Ὑμεῖς δὲ 6
ἠτιμάσατε[11] τὸν πτωχόν. Οὐχ οἱ πλούσιοι[8] καταδυναστεύουσιν[12]
ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν[13] ὑμᾶς εἰς κριτήρια;[14] Οὐκ αὐτοὶ 7
βλασφημοῦσιν τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ᾽ ὑμᾶς; Εἰ μέντοι[15] 8
νόμον τελεῖτε[16] βασιλικόν,[17] κατὰ τὴν γραφήν, Ἀγαπήσεις τὸν
πλησίον[18] σου ὡς σεαυτόν, καλῶς ποιεῖτε: εἰ δὲ προσωποληπτεῖτε,[19] 9
ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι[20] ὑπὸ τοῦ νόμου ὡς παραβάται.[21] 10
Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει[22] δὲ ἐν ἑνί, γέγονεν
πάντων ἔνοχος.[23] Ὁ γὰρ εἰπών, Μὴ μοιχεύσεις,[24] εἶπεν καί, Μὴ 11
φονεύσεις:[25] εἰ δὲ οὐ μοιχεύσεις,[24] φονεύσεις[25] δέ, γέγονας παραβάτης
νόμου. Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας[26] 12
μέλλοντες κρίνεσθαι. Ἡ γὰρ κρίσις ἀνέλεος[27] τῷ μὴ ποιήσαντι ἔλεος: 13
κατακαυχᾶται[29] ἔλεον[28] κρίσεως.

[1] ἐσθής, ῆτος, ἡ, clothing. [2] λαμπρός, bright, shining. [3] ὑποπόδιον, ου, τό, footstool. [4] διακρίνω, discriminate, judge. [5] κριτής, ου, ὁ, judge. [6] διαλογισμός, οῦ, ὁ, reasoning, questioning. [7] ἐκλέγομαι, choose, elect. [8] πλούσιος, rich. [9] κληρονόμος, ου, ὁ, heir, inheritor. [10] ἐπαγγέλλομαι, promise, profess. [11] ἀτιμάζω, dishonor, disgrace. [12] καταδυναστεύω, oppress, overpower. [13] ἑλκύω, drag, draw. [14] κριτήριον, ου, τό, law court, tribunal. [15] μέντοι, yet, however. [16] τελέω, finish, fulfill. [17] βασιλικός, royal, connected with a king. [18] πλησίον, near, neighbor (as a noun). [19] προσωποληπτέω, show partiality. [20] ἐλέγχω, convict, reprove. [21] παραβάτης, ου, ὁ, transgressor. [22] πταίω, cause to stumble, stumble. [23] ἔνοχος, involved in, liable. [24] μοιχεύω, commit adultery. [25] φονεύω, kill, murder. [26] ἐλευθερία, ας, ἡ, liberty, freedom. [27] ἀνέλεος, merciless, without mercy. [28] ἔλεος, ους, ὁ, pity, mercy. [29] κατακαυχάομαι, exult over, triumph over.

Τί τὸ ὄφελος,[1] ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; 14
Μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; Ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ[2] 15
γυμνοὶ[3] ὑπάρχωσιν καὶ λειπόμενοι[4] ὦσιν τῆς ἐφημέρου[5] τροφῆς,[6] 16
εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε[7] καὶ
χορτάζεσθε,[8] μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια[9] τοῦ σώματος, τί τὸ
ὄφελος;[1] Οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστιν καθ' 17
ἑαυτήν. Ἀλλ' ἐρεῖ τις, Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω: δεῖξόν μοι 18
τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου
τὴν πίστιν μου. Σὺ πιστεύεις ὅτι ὁ θεὸς εἷς ἐστίν: καλῶς ποιεῖς: καὶ 19
τὰ δαιμόνια πιστεύουσιν, καὶ φρίσσουσιν.[10] Θέλεις δὲ γνῶναι, ὦ[11] 20
ἄνθρωπε κενέ,[12] ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν; Ἀβραὰμ ὁ 21
πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας[13] Ἰσαὰκ τὸν υἱὸν
αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον;[14] Βλέπεις ὅτι ἡ πίστις συνήργει[15] τοῖς 22
ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη;[16] Καὶ ἐπληρώθη 23
ἡ γραφὴ ἡ λέγουσα, Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη
αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος[17] θεοῦ ἐκλήθη. Ὁρᾶτε τοίνυν[18] ὅτι ἐξ 24
ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον. Ὁμοίως δὲ 25
καὶ Ῥαὰβ ἡ πόρνη[19] οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη[20] τοὺς
ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς 26
πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά

[1] ὄφελος, ους, τό, use, benefit. [2] ἀδελφή, ῆς, ἡ, sister. [3] γυμνός, naked, wearing only under-garments. [4] λείπω, leave, leave behind. [5] ἐφήμερος, daily, for the day. [6] τροφή, ῆς, ἡ, food, nourishment. [7] θερμαίνω, warm. [8] χορτάζω, eat until full, be filled. [9] ἐπιτήδειος, necessary. [10] φρίσσω, shudder. [11] ὦ, Oh! omega. [12] κενός, empty, vain. [13] ἀναφέρω, bring up, offer. [14] θυσιαστήριον, ου, τό, altar. [15] συνεργέω, work together. [16] τελειόω, fill, fulfill. [17] φίλος, ου, ὁ, loving, friend. [18] τοίνυν, accordingly, therefore. [19] πόρνη, ης, ἡ, prostitute. [20] ὑποδέχομαι, welcome, receive.

ἐστιν.

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρίμα[1] **3**
ληψόμεθα. Πολλὰ γὰρ πταίομεν[2] ἅπαντες. Εἴ τις ἐν λόγῳ οὐ πταίει,[2] 2
οὗτος τέλειος[3] ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι[4] καὶ ὅλον τὸ σῶμα. 3
Ἴδε, τῶν ἵππων[5] τοὺς χαλινοὺς[6] εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ
πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν.[7] Ἰδού, 4
καὶ τὰ πλοῖα, τηλικαῦτα[8] ὄντα, καὶ ὑπὸ σκληρῶν[9] ἀνέμων
ἐλαυνόμενα,[10] μετάγεται[7] ὑπὸ ἐλαχίστου[11] πηδαλίου,[12] ὅπου ἂν ἡ
ὁρμὴ[13] τοῦ εὐθύνοντος[14] βούληται. Οὕτως[15] καὶ ἡ γλῶσσα μικρὸν 5
μέλος ἐστίν, καὶ μεγαλαυχεῖ.[16] Ἰδού, ὀλίγον πῦρ ἡλίκην[17] ὕλην[18]
ἀνάπτει.[19] Καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας:[20] οὕτως ἡ 6
γλῶσσα καθίσταται[21] ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα[22] ὅλον τὸ
σῶμα, καὶ φλογίζουσα[23] τὸν τροχὸν[24] τῆς γενέσεως,[25] καὶ
φλογιζομένη[23] ὑπὸ τῆς γεέννης.[26] Πᾶσα γὰρ φύσις[27] θηρίων τε καὶ 7
πετεινῶν,[28] ἑρπετῶν[29] τε καὶ ἐναλίων,[30] δαμάζεται[31] καὶ δεδάμασται[31]
τῇ φύσει[27] τῇ ἀνθρωπίνῃ:[32] τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται 8
ἀνθρώπων δαμάσαι:[31] ἀκατάσχετον[33] κακόν, μεστὴ[34] ἰοῦ[35]
θανατηφόρου.[36] Ἐν αὐτῇ εὐλογοῦμεν τὸν θεὸν καὶ πατέρα, καὶ ἐν 9

[1] κρίμα, ος, τό, judgment, verdict. [2] πταίω, cause to stumble, stumble. [3] τέλειος, complete, perfect. [4] χαλιναγωγέω, bridle, hold in check. [5] ἵππος, ου, ὁ, horse. [6] χαλινός, οῦ, ὁ, bit, bridle. [7] μετάγω, guide, direct. [8] τηλικοῦτος, so great, so large. [9] σκληρός, hard, rough. [10] ἐλαύνω, drive or push, row. [11] ἐλάχιστος, least, smallest. [12] πηδάλιον, ου, τό, rudder, rudder of a ship. [13] ὁρμή, ῆς, ἡ, impulse, inclination. [14] εὐθύνω, make straight, guide. [15] οὕτως, thus, so. [16] μεγαλαυχέω, boast, am arrogant. [17] ἡλίκος, how great, how small. [18] ὕλη, ης, ἡ, forest, wood. [19] ἀνάπτω, kindle, set on fire. [20] ἀδικία, ας, ἡ, unrighteousness. [21] καθίστημι, set, constitute. [22] σπιλόω, stain, defile. [23] φλογίζω, set on fire, inflame. [24] τροχός, οῦ, ὁ, wheel, course. [25] γένεσις, εως, ἡ, origin, birth. [26] γέεννα, ης, ἡ, gehenna, Gehenna. [27] φύσις, εως, ἡ, nature, inherent nature. [28] πετεινόν, ου, τό, bird. [29] ἑρπετόν, οῦ, τό, creeping thing, reptile. [30] ἐνάλιος, belonging to the sea. [31] δαμάζω, tame, subdue. [32] ἀνθρώπινος, human, belonging to human beings. [33] ἀκατάσχετος, unrestrainable, unruly. [34] μεστός, full. [35] ἰός, οῦ, ὁ, rust, poison. [36] θανατηφόρος, death-bringing, deadly.

αὐτῇ καταρώμεθα[1] τοὺς ἀνθρώπους τοὺς καθ᾽ ὁμοίωσιν[2] θεοῦ
γεγονότας: ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία[3] καὶ κατάρα.[4] 10
Οὐ χρή,[5] ἀδελφοί μου, ταῦτα οὕτως γίνεσθαι. Μήτι[6] ἡ πηγὴ[7] ἐκ τῆς 11
αὐτῆς ὀπῆς[8] βρύει[9] τὸ γλυκὺ[10] καὶ τὸ πικρόν;[11] Μὴ δύναται, ἀδελφοί 12
μου, συκῆ[12] ἐλαίας[13] ποιῆσαι, ἢ ἄμπελος[14] σῦκα;[15] Οὕτως οὐδεμία
πηγὴ[7] ἁλυκὸν[16] καὶ γλυκὺ[10] ποιῆσαι ὕδωρ.

Τίς σοφὸς[17] καὶ ἐπιστήμων[18] ἐν ὑμῖν; Δειξάτω ἐκ τῆς καλῆς 13
ἀναστροφῆς[19] τὰ ἔργα αὐτοῦ ἐν πρᾳΰτητι[20] σοφίας. Εἰ δὲ ζῆλον[21] 14
πικρὸν[11] ἔχετε καὶ ἐριθείαν[22] ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε[23]
καὶ ψεύδεσθε[24] κατὰ τῆς ἀληθείας. Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν[25] 15
κατερχομένη,[26] ἀλλ᾽ ἐπίγειος,[27] ψυχική,[28] δαιμονιώδης.[29] Ὅπου γὰρ 16
ζῆλος[21] καὶ ἐριθεία,[22] ἐκεῖ ἀκαταστασία[30] καὶ πᾶν φαῦλον[31] πρᾶγμα.[32] 17
Ἡ δὲ ἄνωθεν[25] σοφία πρῶτον μὲν ἁγνή[33] ἐστιν, ἔπειτα[34] εἰρηνική,[35]
ἐπιεικής,[36] εὐπειθής,[37] μεστὴ[38] ἐλέους[39] καὶ καρπῶν ἀγαθῶν,
ἀδιάκριτος[40] καὶ ἀνυπόκριτος.[41] Καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ 18
σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

[1] καταράομαι, curse. [2] ὁμοίωσις, εως, ἡ, likeness, resemblance. [3] εὐλογία, ας, ἡ, blessing, adulation. [4] κατάρα, ας, ἡ, curse, cursing. [5] χρή, it is necessary, it ought. [6] μήτι, interrogative particle expecting a negative answer. [7] πηγή, ῆς, ἡ, spring, fountain. [8] ὀπή, ῆς, ἡ, opening, hole. [9] βρύω, pour forth, cause to gush forth. [10] γλυκύς, sweet. [11] πικρός, bitter, acrid. [12] συκῆ, ῆς, ἡ, fig tree. [13] ἐλαία, ας, ἡ, olive tree. [14] ἄμπελος, ου, ἡ, vine. [15] σῦκον, ου, τό, fig. [16] ἁλυκός, salty, saltine. [17] σοφός, wise. [18] ἐπιστήμων, expert, skilled. [19] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [20] πραΰτης, mildness, gentleness. [21] ζῆλος, ου, ὁ, zeal, jealousy. [22] ἐριθεία, ας, ἡ, rivalry, ambition. [23] κατακαυχάομαι, exult over, triumph over. [24] ψεύδομαι, lie. [25] ἄνωθεν, from above, again. [26] κατέρχομαι, come down, go down. [27] ἐπίγειος, of the earth, earthly. [28] ψυχικός, natural, wordly-minded. [29] δαιμονιώδης, demonic, devilish. [30] ἀκαταστασία, ας, ἡ, distrurbance, disorder. [31] φαῦλος, worthless, bad. [32] πρᾶγμα, τος, τό, deed, matter. [33] ἁγνός, pure, holy. [34] ἔπειτα, then, after this. [35] εἰρηνικός, peaceable, peaceful. [36] ἐπιεικής, yielding, gentle. [37] εὐπειθής, compliant, obedient. [38] μεστός, full. [39] ἔλεος, ους, ὁ, pity, mercy. [40] ἀδιάκριτος, unwavering, unambiguous. [41] ἀνυπόκριτος, sincere, without hypocrisy.

Πόθεν[1] πόλεμοι[2] καὶ μάχαι[3] ἐν ὑμῖν; Οὐκ ἐντεῦθεν,[4] ἐκ τῶν ἡδονῶν[5] 4
ὑμῶν τῶν στρατευομένων[6] ἐν τοῖς μέλεσιν ὑμῶν; Ἐπιθυμεῖτε,[7] καὶ 2
οὐκ ἔχετε: φονεύετε[8] καὶ ζηλοῦτε,[9] καὶ οὐ δύνασθε ἐπιτυχεῖν:[10]
μάχεσθε[11] καὶ πολεμεῖτε,[12] οὐκ ἔχετε διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς: 3
αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι[13] κακῶς[14] αἰτεῖσθε, ἵνα ἐν ταῖς
ἡδοναῖς[5] ὑμῶν δαπανήσητε.[15] Μοιχοὶ[16] καὶ μοιχαλίδες,[17] οὐκ οἴδατε 4
ὅτι ἡ φιλία[18] τοῦ κόσμου ἔχθρα[19] τοῦ θεοῦ ἐστίν; Ὃς ἂν οὖν βουληθῇ
φίλος[20] εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ θεοῦ καθίσταται.[21] Ἢ δοκεῖτε 5
ὅτι κενῶς[22] ἡ γραφὴ λέγει; Πρὸς φθόνον[23] ἐπιποθεῖ[24] τὸ πνεῦμα ὃ
κατῴκησεν ἐν ἡμῖν. Μείζονα δὲ δίδωσιν χάριν: διὸ λέγει, Ὁ θεὸς 6
ὑπερηφάνοις[25] ἀντιτάσσεται,[26] ταπεινοῖς[27] δὲ δίδωσιν χάριν. 7
Ὑποτάγητε οὖν τῷ θεῷ: ἀντίστητε[28] δὲ τῷ διαβόλῳ, καὶ φεύξεται[29]
ἀφ᾽ ὑμῶν. Ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν: καθαρίσατε χεῖρας, 8
ἁμαρτωλοί, καὶ ἁγνίσατε[30] καρδίας, δίψυχοι.[31] Ταλαιπωρήσατε[32] καὶ 9
πενθήσατε[33] καὶ κλαύσατε: ὁ γέλως[34] ὑμῶν εἰς πένθος[35]
μεταστραφήτω,[36] καὶ ἡ χαρὰ εἰς κατήφειαν.[37] Ταπεινώθητε[38] ἐνώπιον 10
τοῦ κυρίου, καὶ ὑψώσει[39] ὑμᾶς.

[1] πόθεν, from where? whence. [2] πόλεμος, ου, ὁ, war, battle. [3] μάχη, ης, ἡ, fight, conflict. [4] ἐντεῦθεν, hence, on each side. [5] ἡδονή, ῆς, ἡ, pleasure, lust. [6] στρατεύομαι, make war, hence to serve as a soldier. [7] ἐπιθυμέω, desire, long for. [8] φονεύω, kill, murder. [9] ζηλόω, be zealous, am jealous. [10] ἐπιτυγχάνω, obtain, attain. [11] μάχομαι, fight, quarrel. [12] πολεμέω, wage war, make war. [13] διότι, because, on this account. [14] κακῶς, badly, evilly. [15] δαπανάω, spend, spend freely. [16] μοιχός, οῦ, ὁ, adulterer. [17] μοιχαλίς, ίδος, ἡ, adulteress. [18] φιλία, ας, ἡ, friendship, love. [19] ἔχθρα, ας, ἡ, enmity, hostility. [20] φίλος, ου, ὁ, loving, friend. [21] καθίστημι, set, constitute. [22] κενῶς, no purpose, in vain. [23] φθόνος, ου, ὁ, envy, grudge. [24] ἐπιποθέω, long for, strain after. [25] ὑπερήφανος, arrogant, haughty. [26] ἀντιτάσσομαι, range in battle against, oppose. [27] ταπεινός, humble, downcast. [28] ἀνθίστημι, resist, oppose. [29] φεύγω, flee, escape. [30] ἁγνίζω, purify, cleanse. [31] δίψυχος, double-minded, hesitating. [32] ταλαιπωρέω, endure hardship, be miserable. [33] πενθέω, mourn, lament. [34] γέλως, ωτος, ὁ, laughter. [35] πένθος, ους, τό, mourning, sorrow. [36] μεταστρέφω, change, turn (about). [37] κατήφεια, ας, ἡ, gloominess, dejection. [38] ταπεινόω, humble, humiliate. [39] ὑψόω, lift up, exalt.

Μὴ καταλαλεῖτε[1] ἀλλήλων, ἀδελφοί. Ὁ καταλαλῶν[1] ἀδελφοῦ, καὶ 11
κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ[1] νόμου, καὶ κρίνει νόμον: εἰ δὲ
νόμον κρίνεις, οὐκ εἶ ποιητὴς[2] νόμου, ἀλλὰ κριτής.[3] Εἷς ἐστὶν ὁ 12
νομοθέτης,[4] ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι: σὺ δὲ τίς εἶ ὃς κρίνεις
τὸν ἕτερον;

Ἄγε νῦν οἱ λέγοντες, Σήμερον καὶ αὔριον[5] πορευσώμεθα εἰς τήνδε[6] τὴν 13
πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν[7] ἕνα, καὶ ἐμπορευσώμεθα,[8] καὶ
κερδήσωμεν:[9] οἵτινες οὐκ ἐπίστασθε[10] τὸ τῆς αὔριον.[5] Ποία γὰρ ἡ 14
ζωὴ ὑμῶν; Ἀτμὶς[11] γὰρ ἔσται ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα[12] δὲ
καὶ ἀφανιζομένη.[13] Ἀντὶ[14] τοῦ λέγειν ὑμᾶς, Ἐὰν ὁ κύριος θελήσῃ, καὶ 15
ζήσωμεν, καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο. Νῦν δὲ καυχᾶσθε ἐν ταῖς 16
ἀλαζονείαις[15] ὑμῶν: πᾶσα καύχησις[16] τοιαύτη πονηρά ἐστιν. Εἰδότι 17
οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστίν.

Ἄγε νῦν οἱ πλούσιοι,[17] κλαύσατε ὀλολύζοντες[18] ἐπὶ ταῖς ταλαιπωρίαις[19] **5**
ὑμῶν ταῖς ἐπερχομέναις.[20] Ὁ πλοῦτος[21] ὑμῶν σέσηπεν,[22] καὶ τὰ 2
ἱμάτια ὑμῶν σητόβρωτα[23] γέγονεν: ὁ χρυσὸς[24] ὑμῶν καὶ ὁ ἄργυρος[25] 3
κατίωται,[26] καὶ ὁ ἰὸς[27] αὐτῶν εἰς μαρτύριον[28] ὑμῖν ἔσται, καὶ φάγεται
τὰς σάρκας ὑμῶν ὡς πῦρ. Ἐθησαυρίσατε[29] ἐν ἐσχάταις ἡμέραις. Ἰδού, 4

[1] καταλαλέω, speak evil of, slander. [2] ποιητής, οῦ, ὁ, maker, doer. [3] κριτής, ου, ὁ, judge. [4] νομοθέτης, ου, ὁ, lawgiver, legislator. [5] αὔριον, tomorrow. [6] ὅδε, this (here), this here. [7] ἐνιαυτός, οῦ, ὁ, year. [8] ἐμπορεύομαι, engage in business. [9] κερδαίνω, gain, win. [10] ἐπίσταμαι, understand, know. [11] ἀτμίς, ίδος, ἡ, vapor, breath. [12] ἔπειτα, then, after this. [13] ἀφανίζω, destroy, cause to disappear. [14] ἀντί, instead of, in place of. [15] ἀλαζονεία, ας, ἡ, pretension, arrogance. [16] καύχησις, εως, ἡ, boasting, act of boasting. [17] πλούσιος, rich. [18] ὀλολύζω, cry out, wail. [19] ταλαιπωρία, ας, ἡ, distress, misery. [20] ἐπέρχομαι, come to or upon, approach. [21] πλοῦτος, ου, ὁ, wealth, riches. [22] σήπω, decay, rot. [23] σητόβρωτος, moth-eaten. [24] χρυσός, οῦ, ὁ, gold, anything made of gold. [25] ἄργυρος, ου, ὁ, silver, silver as a metal. [26] κατιόω, rust. [27] ἰός, οῦ, ὁ, rust, poison. [28] μαρτύριον, ου, τό, testimony, witness. [29] θησαυρίζω, lay up, store up.

ὁ μισθὸς[1] τῶν ἐργατῶν[2] τῶν ἀμησάντων[3] τὰς χώρας[4] ὑμῶν, ὁ
ἀπεστερημένος[5] ἀφ᾽ ὑμῶν, κράζει: καὶ αἱ βοαὶ[6] τῶν θερισάντων[7] εἰς
τὰ ὦτα κυρίου Σαβαὼθ[8] εἰσεληλύθασιν. Ἐτρυφήσατε[9] ἐπὶ τῆς γῆς 5
καὶ ἐσπαταλήσατε:[10] ἐθρέψατε[11] τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ
σφαγῆς.[12] Κατεδικάσατε,[13] ἐφονεύσατε[14] τὸν δίκαιον: οὐκ 6
ἀντιτάσσεται[15] ὑμῖν.

Μακροθυμήσατε[16] οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας[17] τοῦ κυρίου. Ἰδού, 7
ὁ γεωργὸς[18] ἐκδέχεται[19] τὸν τίμιον[20] καρπὸν τῆς γῆς, μακροθυμῶν[16]
ἐπ᾽ αὐτόν, ἕως λάβῃ ὑετὸν[21] πρώϊμον[22] καὶ ὄψιμον.[23] 8
Μακροθυμήσατε[16] καὶ ὑμεῖς, στηρίξατε[24] τὰς καρδίας ὑμῶν, ὅτι ἡ
παρουσία[17] τοῦ κυρίου ἤγγικεν. Μὴ στενάζετε[25] κατ᾽ ἀλλήλων, 9
ἀδελφοί, ἵνα μὴ κριθῆτε: ἰδού, ὁ κριτὴς[26] πρὸ τῶν θυρῶν ἕστηκεν. 10
Ὑπόδειγμα[27] λάβετε, ἀδελφοί μου, τῆς κακοπαθείας,[28] καὶ τῆς
μακροθυμίας,[29] τοὺς προφήτας οἳ ἐλάλησαν τῷ ὀνόματι κυρίου. Ἰδού, 11
μακαρίζομεν[30] τοὺς ὑπομένοντας:[31] τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε,
καὶ τὸ τέλος κυρίου ἴδετε, ὅτι πολύσπλαγχνός[32] ἐστιν καὶ οἰκτίρμων.[33]

[1] μισθός, οῦ, ὁ, wages, reward. [2] ἐργάτης, ου, ὁ, workman, laborer. [3] ἀμάω, harvest, collect. [4] χώρα, ας, ἡ, land, region. [5] ἀποστερέω, defraud, deprive of. [6] βοή, ῆς, ἡ, outcry, shout. [7] θερίζω, reap, gather. [8] σαβαώθ, hosts, armies. [9] τρυφάω, live for pleasure, revel. [10] σπαταλάω, live extravagantly. [11] τρέφω, make to grow, nourish. [12] σφαγή, ῆς, ἡ, slaughter, sacrifice. [13] καταδικάζω, pass sentence upon, condemn. [14] φονεύω, kill, murder. [15] ἀντιτάσσομαι, range in battle against, oppose. [16] μακροθυμέω, be patient, suffer long. [17] παρουσία, ας, ἡ, presence, coming. [18] γεωργός, οῦ, ὁ, farmer, worker of the soil. [19] ἐκδέχομαι, await, expect. [20] τίμιος, precious, honorable. [21] ὑετός, ου, ὁ, rain. [22] πρώϊμος, dawning, early. [23] ὄψιμος, ου, ὁ, late rain, spring rain. [24] στηρίζω, establish, fix firmly. [25] στενάζω, groan (internally), sigh deeply. [26] κριτής, ου, ὁ, judge. [27] ὑπόδειγμα, τος, τό, copy, example. [28] κακοπάθεια, ας, ἡ, suffering, affliction. [29] μακροθυμία, ας, ἡ, long-suffering, patience. [30] μακαρίζω, consider blessed, happy. [31] ὑπομένω, tarry, endure. [32] πολύσπλαγχνος, sympathetic, compassionate. [33] οἰκτίρμων, merciful, compassionate.

Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε,[1] μήτε τὸν οὐρανόν, μήτε 12
τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον:[2] ἤτω δὲ ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ,
οὔ: ἵνα μὴ εἰς ὑπόκρισιν[3] πέσητε.

Κακοπαθεῖ[4] τις ἐν ὑμῖν; Προσευχέσθω. Εὐθυμεῖ[5] τις; Ψαλλέτω.[6] 13
Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω[7] τοὺς πρεσβυτέρους τῆς
ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπʼ αὐτόν, ἀλείψαντες[8] αὐτὸν ἐλαίῳ
ἐν τῷ ὀνόματι τοῦ κυρίου: καὶ ἡ εὐχὴ[10] τῆς πίστεως σώσει τὸν 15
κάμνοντα,[11] καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος: κἂν[12] ἁμαρτίας ᾖ πεποιηκώς,
ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε[13] ἀλλήλοις τὰ παραπτώματα,[14] 16
καὶ εὔχεσθε[15] ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε.[16] Πολὺ ἰσχύει[17] δέησις[18]
δικαίου ἐνεργουμένη.[19] Ἠλίας[20] ἄνθρωπος ἦν ὁμοιοπαθὴς[21] ἡμῖν, καὶ 17
προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι:[22] καὶ οὐκ ἔβρεξεν[22] ἐπὶ τῆς γῆς
ἐνιαυτοὺς[23] τρεῖς καὶ μῆνας[24] ἕξ.[25] Καὶ πάλιν προσηύξατο, καὶ ὁ 18
οὐρανὸς ὑετὸν[26] ἔδωκεν, καὶ ἡ γῆ ἐβλάστησεν[27] τὸν καρπὸν αὐτῆς.

Ἀδελφοί, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις 19
αὐτόν, γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης[28] ὁδοῦ 20
αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει[29] πλῆθος ἁμαρτιῶν.

[1] ὀμνύω, swear, take an oath. [2] ὅρκος, ου, ὁ, oath. [3] ὑπόκρισις, εως, ἡ, hypocrisy. [4] κακοπαθέω, suffer hardship, misfortune. [5] εὐθυμέω, be cheerful, am cheerful. [6] ψάλλω, sing, sing praise. [7] προσκαλέω, summon. [8] ἀλείφω, anoint. [9] ἔλαιον, ου, τό, olive oil. [10] εὐχή, ῆς, ἡ, prayer, vow. [11] κάμνω, be weary, ill. [12] κἄν, and if, even if. [13] ἐξομολογέω, confess, profess. [14] παράπτωμα, τος, τό, trespass, falling away. [15] εὔχομαι, pray, wish. [16] ἰάομαι, heal. [17] ἰσχύω, be strong, able. [18] δέησις, εως, ἡ, entreaty, prayer. [19] ἐνεργέω, work, effect. [20] Ἠλίας, ου, ὁ, Elijah. [21] ὁμοιοπαθής, with the same nature. [22] βρέχω, send rain, rain. [23] ἐνιαυτός, οῦ, ὁ, year. [24] μήν, ὁ, month, certainly. [25] ἕξ, six, 6. [26] ὑετός, ου, ὁ, rain. [27] βλαστάνω, sprout, produce. [28] πλάνη, ης, ἡ, wandering, error. [29] καλύπτω, cover, veil.